# AESOPI FABVLAE (IX)

## 118-ΚΑΡΚΙΝΟΣ ΚΑΙ ΑΛΩΠΗΞ

καρκίνος ἀπὸ τῆς θαλάττης ἀναβὰς ἐπί τινος ἐνέμετο τόπου. ἀλώπηξ δὲ λιμώττουσα ὡς[1] ἐθεάσατο, προσελθοῦσα ἀνέλαβεν αὐτόν. ὁ δὲ μέλλων καταβιβρώσκεσθαι ἔφη· «ἀλλ' ἔγωγε δίκαια πέπονθα, ὃς θαλάττιος ὢν χερσαῖος ἐβουλήθην γενέσθαι».

ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οἱ τὰ οἰκεῖα καταλείποντες ἐπιτηδεύματα καὶ τοῖς μηδὲν προσήκουσιν[2] ἐπιχειροῦντες εἰκότως δυστυχοῦσιν.

---

[1] **ὡς.** Temporal

[2] **τοῖς μηδὲν προσήκουσιν.** Neutro. Régimen del participio siguiente. μηδὲν es adverbial